σου καὶ προσκολλήσω τοὺς ἰχθῦς τοῦ ποταμοῦ σου πρὸς τὰς
πτέρυγάς σου καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου καὶ πάν-
5 τας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου [5]καὶ καταβαλῶ σε ἐν τάχει καὶ
πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου· ἐπὶ πρόσωπον τοῦ πεδίου
πεσῇ καὶ οὐ μὴ συναχθῇς καὶ οὐ μὴ περισταλῇς, τοῖς θηρίοις τῆς
γῆς καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ δέδωκά σε εἰς κατάβρωμα·
6 [6]καὶ γνώσονται πάντες οἱ κατοικοῦντες Αἴγυπτον ὅτι ἐγώ εἰμι
7 κύριος, ἀνθ᾽ ὧν ἐγενήθης ῥάβδος καλαμίνη τῷ οἴκῳ Ισραηλ. [7]ὅτε
ἐπελάβοντό σου τῇ χειρὶ αὐτῶν, ἐθλάσθης· καὶ ὅτε ἐπεκράτησεν
ἐπ᾽ αὐτοὺς πᾶσα χεὶρ καὶ ὅτε ἐπανεπαύσαντο ἐπὶ σέ, συνετρίβης
8 καὶ συνέκλασας αὐτῶν πᾶσαν ὀσφύν. [8]διὰ τοῦτο τάδε λέγει κύριος
Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ῥομφαίαν καὶ ἀπολῶ ἀνθρώπους ἀπὸ σοῦ
9 καὶ κτήνη· [9]καὶ ἔσται ἡ γῆ Αἰγύπτου ἀπώλεια καὶ ἔρημος, καὶ γνώ-
σονται ὅτι ἐγώ εἰμι κύριος, ἀντὶ τοῦ λέγειν σε Οἱ ποταμοὶ ἐμοί
10 εἰσιν, καὶ ἐγὼ ἐποίησα αὐτούς. [10]διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ καὶ
ἐπὶ πάντας τοὺς ποταμούς σου καὶ δώσω γῆν Αἰγύπτου εἰς ἔρη-
μον καὶ ῥομφαίαν καὶ ἀπώλειαν ἀπὸ Μαγδώλου καὶ Συήνης καὶ
11 ἕως ὁρίων Αἰθιόπων. [11]οὐ μὴ διέλθῃ ἐν αὐτῇ ποὺς ἀνθρώπου, καὶ
ποὺς κτήνους οὐ μὴ διέλθῃ αὐτήν, καὶ οὐ κατοικηθήσεται τεσσαρά-
12 κοντα ἔτη. [12]καὶ δώσω τὴν γῆν αὐτῆς ἀπώλειαν ἐν μέσῳ γῆς
ἠρημωμένης, καὶ αἱ πόλεις αὐτῆς ἐν μέσῳ πόλεων ἠρημωμένων
ἔσονται τεσσαράκοντα ἔτη· καὶ διασπερῶ Αἴγυπτον ἐν τοῖς ἔθνεσιν
13 καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας. [13]τάδε λέγει κύριος Μετὰ τεσ-
σαράκοντα ἔτη συνάξω τοὺς Αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν, οὗ δι-
14 εσκορπίσθησαν ἐκεῖ, [14]καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν τῶν Αἰγυ-
πτίων καὶ κατοικίσω αὐτοὺς ἐν γῇ Παθουρης, ἐν τῇ γῇ, ὅθεν ἐλήμ-
15 φθησαν· καὶ ἔσται ἀρχὴ ταπεινὴ [15]παρὰ πάσας τὰς ἀρχάς, οὐ μὴ
ὑψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη, καὶ ὀλιγοστοὺς αὐτοὺς ποιήσω τοῦ μὴ
16 εἶναι αὐτοὺς πλείονας ἐν τοῖς ἔθνεσιν. [16]καὶ οὐκέτι ἔσονται τῷ
οἴκῳ Ισραηλ εἰς ἐλπίδα ἀναμιμνῄσκουσαν ἀνομίαν ἐν τῷ αὐτοὺς

4 σου paenult. > A | σου paenult. ⌒ ult. B† || 5 και ου μη 2⁰] ουδ ου μη A† | της γης] του αγρου A | καταβρωμα] βρωσιν A || 7 οτε 1⁰] οτι B | επελαβετο B | επεκρατησεν] εκροτησεν B*† (pr. επ Bc) || 8 κυριος] + ο θεος A: cf. 3 | ανθρωπους — fin.] απο σου ανθρωπον και κτηνος A(†) = 𝔐 || 9 η] pr. πασα A | οι] pr. οτι A || 10 γην] pr. την A | και ρομφ.] > A†, και > B: cf. 𝔐 | σοηνης A | αιθιοπιας A || 11 πους 1⁰ — αυτην] ανθρωπος και κτηνος A: ad 8 adapt. | και ου] ουδε A || 12 απωλ.] pr. εις A | γης ηρημωμενης] της ερημου A | αυτης 2⁰] -των A† | τεσσαρ. ετη Bpau.] pr.(uel add.) αφανισμος (uel αφαν. εσται uel sim.) pl. (in *O* sub ※); A† praeb. αφαν. εσται tantum omittens τεσσαρ. ετη || 13 init.] pr. οτι A = 𝔐 | κυριος] + κυριος A: cf. 2 4 | τους > BQ† || 14 των αιγ.] αιγυπτου A | παθουρης (cf. Ier. 51 1. 15)] φαθωρης BQ: cf. 30 14 || 16 ουκετι εσ.] ουκ εσ. ετι B = 𝔐 | αναμιμνησκουσαν] ν ult. > A† | ανομ.] αμαρτιαν A